ὑγιείας οὐκ ἔχετε· ὡσαύτως δὲ τὸ ἴδιον αὐτοῦ ἔργον καὶ ὁ γυμναστὴς ἐπαινέσει καὶ ὁ χρηματιστὴς τὸ οἰκεῖον· ἐπεὶ οὖν ταῦτα λέγουσι, πειρῶ ἐκείνοις τε καὶ ἐμοὶ λέγειν σαφῶς τὸ ὑποκείμενον τῇ ῥητορικῇ· ὁ δὲ ἀποκρίνεται ἐγγὺς μὲν τῆς ἀληθείας, οὐ μὴν σαφῶς καὶ διηρθρωμένως· λέγει γάρ, ὅτι τὸ πείθειν ἐστὶν ἔν τε δικαστηρίῳ δικαστὰς καὶ ἐν βουλευτηρίῳ βουλευτὰς καὶ ἐν ἐκκλησίᾳ ἐκκλησιαστάς· ἰδοῦ οὖν, ὅτι ἀσαφῶς λέγει. πλὴν διὰ μὲν τοῦ δικαστηρίου τὸ δίκαιον, αἰνίττεται διὰ δὲ τοῦ βουλευτηρίου τὸ συμφέρον, διὰ δὲ τοῦ ἐκκλησιαστοῦ τὸ καλόν. εἶπεν δὲ καὶ τὸ πείθειν, ὅ ἐστι τὴν ἐνέργειαν, καλῶς καὶ τοῦτο· ἐνέργειαν μὲν γὰρ θέλει ἔχειν, οὐ πάντως δὲ τὸ τέλος· οὕτω γοῦν καὶ ὁ ἰατρὸς ὑγιάζει μὲν ἀντὶ τοῦ ἐνέργειαν ἔχει ὑγιείας περιποιητικήν, οὐ πάντως δὲ πάντα ἄνθρωπον ὑγιάζει· οὕτω καὶ ὁ ῥήτωρ πείθειν μὲν ἐπαγγέλλεται, οὐ πάντως δὲ τέλος ἔχει τὸ πεῖσαι.

p. 451e. τὸ πλουτεῖν ἀδόλως.

7 ὁ μὲν χρηματιστὴς οὐ θέλει πλουτεῖν ἀδόλως ἀλλὰ μετὰ πολλῆς τυραννίδος· ἀλλ' ἐπειδὴ ὡς ἀπὸ τοῦ ποιητοῦ τοῦτο μέλος λέγοντος προφέρει τὸν λόγον, τὸ ἀδόλως προσέθηκεν.

p. 452b. εἰ δὲ αὖ μετὰ τοῦτο ὁ παιδοτρίβης.

8 τὸν παιδοτρίβην μετὰ τὸν ἰατρὸν εἶπεν· ἐπειδὴ ὁ μὲν ἰατρὸς περὶ τὰ στοιχεῖα αὐτὰ καθ' αὑτὰ καταγίνεται, ὁ δὲ παιδοτρίβης περὶ τὴν σύνθεσιν αὐτῶν καὶ τὴν τοιάνδε τῶν μορίων συνθήκην καὶ τὸ κάλλος αὐτῶν.

p. 452b. καταφρονῶν ἁπάντων.

9 ἰδοὺ οὐκέτι τὸ ἀδόλως προσέθηκεν, ἐπειδὴ αὐτὸς ὁ χρηματιστὴς λέγει, ὃς πάντων καταφρονεῖ.

p. 452d. ὅπερ ἐστὶν ὦ Σώκρατες.

10 ὁ Γοργίας ἀποκρίνεται καὶ φησίν, ὅτι ἐκεῖνό μου ἐστὶ τὸ ἔργον, ὅπερ τῇ ἀληθείᾳ μέγιστόν ἐστιν ἀγαθὸν καὶ

21 mg. ση. περὶ τίνων ὁ ἰατρὸς καὶ περὶ τίνων ὁ παιδοτρίβης καταγίνονται

3—5 τὸ ὑποκείμενον — σαφῶς om. sed mg. add. M 20 τοῦτο M τοῦτον codd. Plat.